Γρηγόριος ὁ Ναζιανζηνὸς

*Εἰς τὸν ἑαυτοῦ βίον*
(στ. 128-201, ἔκδ. C. Jungck, Χαϊδελβέργη 1974)

Τότ’ οὖν Ἀλεξάνδρειαν ἐκλιπὼν ἐγώ
(κἀνθένδε γάρ τι τῶν λόγων ἐδρεψάμην)
ἄρας ἔτεμνον πόντον εὐθὺς Ἑλλάδος.
Κύπρου τὰ πλευρά· καὶ στάσις τῶν πνευμάτων
ἔβραζε τὴν ναῦν καὶ τὰ πάντ’ ἦν νὺξ μία·
γῆ, πόντος, αἰθήρ, οὐρανὸς ζοφούμενος·
βρονταὶ δ’ ἐπήχουν ἀστραπῶν τινάγμασιν,
κάλοι δ’ ἐρόχθουν ἱστίων πληρουμένων.
ἔκλινεν ἱστός, οἰάκων δ’ οὐδὲν σθένος·
βίᾳ γὰρ ἡρπάζοντο χειρὸς αὐχένες.
πλῆρες δ’ ὑπερτοιχοῦντος ὕδατος σκάφος.
βοὴ δὲ συμμιγής τε καὶ θρήνων πλέως
ναυτῶν, κελευστῶν, δεσποτῶν, †ἐπηβόλων†
Χριστὸν καλούντων ἐκ μιᾶς συμφωνίας,
καὶ τῶν, ὅσοι τὸ πρόσθεν ἠγνόουν θεόν·
ὁ γὰρ φόβος δίδαγμα καιριώτερον.
ὃ δ’ ἦν ἁπάντων σχετλιώτατον κακῶν,
ἄνυδρος ἡ ναῦς· εὐθὺ γὰρ στροβουμένης
νεὼς ῥαγεῖσα σπείρετ’ ἐν βυθῷ σκάφη,
ἣ τὸν γλυκὺν θησαυρὸν εἶχεν ὕδατος.
λιμοῦ δ’ ἀγὼν ἦν καὶ ζάλης καὶ πνευμάτων
νεκροὺς γενέσθαι. τοῦδε μὲν λύσιν θεός
εἶδεν ταχεῖαν. ἔμποροι γὰρ Φοινίκης
ἄφνω φανέντες, καίπερ ὄντες ἐν φόβῳ,
λιταῖς μαθόντες τὸ στενὸν τοῦ κινδύνου,
κοντῶν ἐρεισμοῖς καὶ χερῶν ἀράγματα
νεῶν φυγόντες (καὶ γὰρ ἦσαν εὐσθενεῖς)
σῴζουσιν ἡμᾶς ποντίους ἤδη νεκρούς,
ὡς ἐκ θαλάσσης ἐκλιπόντας ἰχθύας
ἢ λαμπάδα θνῄσκουσαν οὐκ οὔσης τροφῆς.
Ὁ δ’ ἠγριοῦτο καὶ πλέον βρυχώμενος
πόντος καθ’ ἡμῶν ἡμέραις ἐν πλείοσιν
οὔθ’ οἷ πλέοιμεν εἰδότων πολλαῖς στροφαῖς
οὔτε τιν’ ὁρώντων ἐκ θεοῦ σωτηρίαν.

πάντων δὲ τὸν κοινὸν θάνατον δεδοικότων
ὁ κρυπτὸς ἦν ἔμοιγε φρικωδέστερος.
καθαρσίων γάρ, οἷς θεούμεθ’, ὑδάτων
ἠλλοτριούμην ὕδασι ξενοκτόνοις. (165)
τοῦτ’ ἦν ὀδυρμός, τοῦτ’ ἔμοιγε συμφορά,
τούτῳ βοὰς ἔπεμπον, ἐκτείνων χέρας,
ὑπερκτυπούσας κυμάτων πολὺν ῥόθον,
ῥήξας χιτῶνα, κείμενος πρηνὴς τάλας.
ὃ δ’ ἐστὶν οὐ πιστὸν μέν, ἀψευδὲς δ’ ἄγαν, (170)
πάντες παρέντες τὴν ἑαυτῶν συμφοράν
ἐμοὶ συνῆγον ἐκβοὰς εὐκτηρίους,
πλωτῆρες εὐσεβοῦντες ἐν κοινοῖς κακοῖς·
οὕτω συνήλγουν τοῖς ἐμοῖς παθήμασιν.
Σὺ καὶ τότ’ ἦσθα, Χριστέ μου, σωτὴρ μέγας, (175)
καὶ νῦν ἐλευθερῶν με κυμάτων βίου.
ἐπεὶ γὰρ οὐδὲν ἐλπίδος χρηστῆς ὑπῆν,
οὐ νῆσος, οὐκ ἤπειρος, οὐκ ὀρῶν ἄκρα,
οὐ πυρσός, οὐ πλωτῆρσιν ἀστέρες σκοποί,
οὐ μικρόν, οὐ μεῖζόν τι τῶν ὁρωμένων, (180)
τί μηχανῶμαι; τίς πόρος τῶν δυσχερῶν;
πάντων ἀπογνοὺς τῶν κάτω πρὸς σὲ βλέπω,
ζωή, πνοή μου, φῶς, κράτος, σωτηρία,
φοβῶν, πατάσσων, μειδιῶν, ἰώμενε,
πλέκων τὸ χρηστὸν τοῖς ἐναντίοις ἀεί. (185)
πάντων δ’ ὑπομνήσας σε τῶν πρὶν θαυμάτων,
οἷς τὴν μεγίστην χεῖρά σου γνωρίζομεν,
Αἰγυπτίων μάστιξιν ἐκτετριμμένων, (190)
πόντου ῥαγέντος Ἰσραὴλ ὡδευκότος, (188)
χειρῶν ἐπάρσει δυσμενῶν ἡττημένων,
αὐτῆς στρατάρχαις τῆς κτίσεως δουλουμένης, (191)
σάλπιγξι τειχῶν καὶ δρόμῳ πορθουμένων,
προσθείς τε τἀμὰ τοῖς πάλαι βοωμένοις,
„σός“, εἶπον, „εἰμί, καὶ τὸ πρὶν καὶ νῦν ἔτι.
σὺ δίς με λήψῃ, κτῆμα τῶν σοι τιμίων, (195)
γῆς καὶ θαλάσσης δῶρον, ἐξηγνισμένον
εὐχῇ τε μητρὸς καὶ φόβοις ἐξαισίοις.
σοὶ ζήσομ’, εἰ φύγοιμι δισσὸν κίνδυνον.
σὺ ζημιώσῃ λάτριν, εἰ προοῖό με.
καὶ νῦν μαθητὴς ἐν σάλῳ· τίνασσέ μοι (200)
τὸν ὕπνον ἢ πέζευε, καὶ στήτω φόβος.“